A. K. 57 (27)

Zb 6160

Τὰ

# ΓΕΝΈΣΙΑ

τοῦ Ἀνδρὸς

ΕΥΓΕΝΕΣΤΆΤΟΥ ΚΑῚ ΣΟΦΩΤΆΤΟΥ

ΚΥΡΊΟΥ

# ἸΩΆΝΝΟΥ ἘῬῬΊΚΟΥ ἙΛΛΒΑΧΊΟΥ,

ΣΥΜΠΡΥΤΑΝΈΩΣ ἘΝ ΤΗ͂Ι ἘΠΑΡΧΊΑΙ ΣΑΞΟΝΙΚΗ͂Ι

ἐν τῷ ἔτει

͵α ψ ξ θ

ἐπανιόντα τούτῳ ἀσματίῳ

κεκλεισμένα

ὑπὸ

## ἸΩΆΝΝΟΥ ΘΕΟΦΊΛΟΥ ΒΙΔΕΡΜΆΝΝΟΥ.

ἘΝ ΔΡΈΣΔΗι,

Διὰ τῶν τῆς ἉΡΠΕΤΈΡΗΣ χαρακτήρων.

UNIVERSITÄTS-BIBLIOTHEK HALLE (SAALE)

BIBLIOTHECA PONICKAVIANA

Universitäts- und Landesbibliothek Sachsen-Anhalt

urn:nbn:de:gbv:3:1-286374-p0001-8

DFG

Ἑλλαδικῆς περίπυστον ἐπεὶ κλέος ὤλεσεν ἄιης
    Ἄρης πανδαμάτωρ ἀργαλέοις πολέμοις,
Οὐκ ἔτι δὴ μένεν Ἑλλὰς ἐν Ἑλλάδι, (τίς κε πιθοῖτο;)
    Ἑλλαδικῇ γλώσσῃ μίγνυτο βαρβαρική.
Φωναὶ ἀμειβόμεναι ἐδόκευν νῦν, ἐδὲ γε γῆρυς
    Ὀψιγόνοισιν ἔην τοῖς ποτε γινομένοις,
Καὶ μόγις ἦν ξυνετὴ τοῖς ἀνδράσιν, ὃς ποτε γαῖα
    Ἑλλάδος ἀρχαίης τίκτε παλαιγενέας.
Αὐτὰρ ἐν ἀβρομίᾳ ταύτῃ δνοφεροῖς τε σκότεσσιν
    Ἄλλῃ ἐξέφερεν θεία πρόνοια φάος.

Ἐν γὰρ Γερμανίᾳ ἄνδρες πολλοὶ καὶ ἀγητοὶ
Ἤσκησαν σπουδῇ γράμματα Ἑλλαδικά,
Ἠδὲ ἐπιστροφάδην ἐζήλωσαν περὶ ταῦτα,
Αὐτῶν ὥστε κλέος πανταχοῦ ἀμφιάχειν.
Καὶ οὗτοι ἄνδρες κρήνῃσιν ἐοίκασιν ἁγναῖς,
Ὧν ῥέει ἀργύρεον φαιδιμόεν τε ὕδωρ.
Ἐν τούτων σπανίῳ, μικρῷ ὀλίγῳ τε ἀριθμῷ
Ἀγλαὸς ἐκλάμπεις ἥλιος ὡς ὕπατος,
ἙΛΛΒΑ´ΧΙΟΣ νομίμως ὀνομασθείς, ἌΝΕΡ ἌΡΙΣΤΕ,
Ἑλλάδα ὃς δοκέεις πατρίδα Σεῖο ἔχειν.
Ἢ γὰρ ἀναγνώσῃ τις γνωμονικὸν μελέτημα,
Οὕνεκα Γοττίγγη ἀμφαγαπᾷ Σε ἔτι,
Ἢ ἐνθυμῶμεν σπουδῇ πεπυκασμένον ᾆσμα,
Ὀυαλχίου εἰς τιμὴν πρὸ βραχέος γεγονός,
Ἡμᾶς δεῖ πάντας ὄντως ἐξομολογῆσαι,
Ἑλλήνων σύνεσιν πᾶσαν ἀναστρέφεμεν.
Καὶ διὰ ταῦτα χάριν πολλῶν ἀντάξιος ἄλλων
Καὶ ἔλαχες καὶ ἔχεις μουσοφίλων μερόπων,
Οἳ συγχαίροντές Σου μοίρᾳ ἱμερόεσσῃ
Πλείονα εὔχονται καὶ ἀτίνακτα καλά.
Τοῦτο γενεθλιακόν Σου καὶ ἐμὲ ἦμαρ ἀνώγει,
Σήμερον αὐγάζον πάντα, Σε ὃς φιλέει.
Τοὔνεκα νῦν καὶ ἐγὼ μάλα ἐν στήθεσσιν ἰάνθην,
Γνοὺς, ὅτι εὐρωστεῖς σώματι ἠδὲ φρενί,

FKZb 6160 X 3439663

Καὶ ἀναμιμνήσκων, ὡς πρόφρων μοι πάλαι ἦθα  
Ὧι Νεοπύργῃ ἓν συμπολίτευμα πέλει.  
Ου μόνον αὐτὰρ ἐμοὶ παρέχεις πολυφίλτατον ἦτορ,  
Ἀλλὰ καὶ εἰς υἱὸν τῦτο ἔχεις συνεχές,  
Ὃς μνήμων αἰὲι πολλῶν εὐεργεσιάων  
Ἔυφρων εὐλογέει πᾶσαν ἔχει τε χάριν.  
Ὕψιστος δὲ Θεός Σοι ἀμείψεται ἀντὶ ἐμεῖο,  
Ἀνταπαμείβεσθαι ὅσσα μοι ἀδυνατά.  
Καὶ Σοι καὶ Ἀλόχῳ δοίη εὐήμερα πάντα,  
Καὶ ἐν ἀπημοσύνῃ χαῖρε, Ἑταῖρε, ἀεί.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-286374-p0004-5

A. K. 57 (27)

Zb 6160

Τὰ

# ΓΕΝΈΣΙΑ

τȣ̃ Ἀνδρὸς

ἘΥΓΕΝΕΣΤΆΤΟΥ ΚΑῚ ΣΟΦΩΤΆΤΟΥ

ΚΥΡΊΟΥ

ΝΝΟΥ ἘῤῬΊΚΟΥ

ΛΛΑΒΑΧΊΟΥ,

ΡΥΤΤΑΝΈΩΣ ἘΝ ΤΗ͂Ι ἘΠΑΡΧΊΑΙ

ΣΑΞΟΝΙΚΗ͂Ι

ἐν τῷ ἔτει

ᾳ ψ ȣ θ

νιόντα τȣ́τῳ ἀσματίῳ.

κεκλεισμένα

ὑπὸ

ΝΝΟΥ ΘΕΟΦΊΛΟΥ

ΒΙΔΕΡΜΆΝΝΟΥ.

ἘΝ ΔΡΈΣΔΗι,

ιὰ τῶν τῆς ἈΡΠΕΤΈΡΗΣ χαρακτήρων.

BIBLIOTHECA PONICKAVIANA

HALLE (SAALE)

Universitäts- und Landesbibliothek Sachsen-Anhalt

urn:nbn:de:gbv:3:1-286374-p0005-0